XIV.

ANACREONTEA.

1. [65.] *)

Ἀνακρέων ἰδών με,
ὁ Τήϊος μελῳδός,
ὄναρ λέγων προσεῖπεν·
κἀγὼ δραμὼν πρὸς αὐτόν
περιπλάκην φιλήσας.
γέρων μὲν ἦν, καλὸς δέ,
καλός γε καὶ φίλευνος·
τὸ χεῖλος ὤζεν οἴνου·
τρέμοντα δ' αὐτὸν ἤδη
Ἔρως ἐχειραγώγει.
ὁ δ' ἐξελὼν καρήνου
ἐμοὶ στέφος δίδωσιν.
τὸ δ' ὤζ' Ἀνακρέοντος·
ἐγὼ δ' ὁ μωρὸς ἄρας
ἐδησάμην μετώπῳ.
καὶ δῆθεν ἄχρι καὶ νῦν
ἔρωτος οὐ πέπαυμαι.

2. [48.]

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΙΟΥ.

Λύτε μοι λύρην Ὁμήρου
φορίης ἄνευθε χορδῆς.

Anacreontea. Cod. Pal. secundum Levesquium: Ἀνακρέοντος Τηΐου συμποσιακὰ ἡμιάμβια secundum Spalettium: Ἀ. τ. σ. ἡ. καὶ ἀνακρέοντια καὶ τρίμετρα. atque ita index Anthol. Palat.

1. Brunckius Βασιλίου praemisit, quoniam 2 inscribitur τοῦ αὐτοῦ Βασιλίου. — V. 3. προσεῖπεν, cod. προεῖπεν. — V. 5. περιπλάκην, cod. περὶ πλάκην. — V. 7. γε cod., vulgo τε. — V. 15. ἐδησάμην, cod. ἐδήσαμεν.

2. τοῦ αὐτοῦ Βασιλίου Spaletti ex cod., Stephanus ἄλλο.

*) Numeri adjecti sunt editionum vulgarium.

φέρε μοι κύπελλα θεσμῶν,
φέρε μοι νόμους κεράσσω,
μεθύων ὅπως χορεύσω,
ὑπὸ σώφρονος δὲ λύσσης,
μετὰ βαρβίτων ἀείδων,
τὸ παροίνιον βοήσω.
δότε μοι λύρην Ὁμήρου
φονίης ἄνευθε χορδῆς.

---

3. [17.]

ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ.

Τὸν ἄργυρον τορεύων
Ἥφαιστέ μοι ποίησον
πανοπλίαν μὲν οὐχί,
τί γὰρ μάχαισι κἀμοί;
ποτήριον δὲ κοῖλον,
ὅσον δύνῃ, βαθύνας,
ποίει δέ μοι κατ' αὐτό
μήτ' ἄστρα μήτ' ἄμαξαν,
μὴ στυγνὸν Ὠρίωνα·
τί Πλειάδων μέλει μοι;
τί γὰρ καλοῦ Βοώτεω;
ποίησον ἀμπέλους μοι,
καὶ βότρυας κατ' αὐτῶν,

---

3. Legitur hoc carmen etiam in Anthol. Pal. XI. 48. et in Crameri Anecd. Paris. IV. p. 376. et apud Gellium N. A. XIX. 9. Exhibui cod. lectiones. — V. 1. τορεύων, ceteri τορεύσας. — V. 3. et 4. desunt in Anthol. et ap. Cramer. — V. 6. βαθύνας, ceteri βάθυνον. — V. 7. κατ' αὐτό Gellius et Cram., κατ' αὐτοῦ cod. et Anthol. — V. 8. ἄμαξαν, ceteri ἁμάξας. — V. 10. et 11. desunt in Anthol. et ap. Cram. Leguntur sic apud Gell.: Τί πλειάδεσσι κἀμοὶ (sed codd. plures: τί πληάδων μέλει μοι) τί δ' ἄστρασι Βοώτεω (sed codd. aliquot: τί δ' ἄστεροι B.) — V. 12. et 13. plane aliter Anthol. et Cram. Ἀλλ' ἀμπέλους χλοώσας καὶ βότρυας γιλῶντας, qui statim adjungunt v. 20.: σὺν τῷ καλῷ Δυαίῳ, omissis reliquis. — V. 13. κατ' αὐτῶν, Gellius κατ' αὐτό.

καὶ Μαινάδας τρυγώσας.
ποίει δὲ ληνὸν οἴνου
ληνοβάτας πατοῦντας,
τοὺς Σατύρους γελῶντας,
καὶ χρυσοῦς τοὺς Ἔρωτας,
καὶ Κυθήρην γελῶσαν,
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα κἀφροδίτην.

---

4. [10.]

ΑΛΛΟ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΟΤΗΡΙΟΝ.

Καλλιτέχνα τόρευσον
ἔαρος κύπελλον ἤδη·
τὰ πρῶτ' ἡμῖν τὰ τερπνά
ῥόδα φέρουσαν Ὥρην·
τὸν ἀργύρεον δ' ἁπλώσας
ποίει πότον μοι τερπνόν
μὴ τῶν, παραινῶ, τελετῶν,
μὴ ξένον μοι τορεύσῃς·
μὴ φευκτὸν ἱστόρημα
μᾶλλον ποίει Διὸς γόνον
Βάκχον Εὔϊον ἡμῖν·
μύστις νάματος ἡ Κύπρις
ὑμεναίοις κροτοῦσα·
χάρασσ' Ἔρωτας ἀνόπλους
καὶ Χάριτας γελώσας
ὑπ' ἄμπελον εὐπέταλον,
εὐβότρυον, κομῶσαν·

V. 14 — 17. Gellius omisit. — V. 18. Gellius sic exhibet καὶ χρυσέους πατοῦντας. — V. 19. omisit Gellius. — V. 21. κἀφροδίτην, Gellius καὶ Βάθυλλον.

4. Spaletti addit τοῦ αὐτοῦ Ἀνακρέοντος. — V. 1. καλλιτέχνα cod. in margine, vulgo κάλη τέχνα. — V. 5. cod. in marg. τὸν ἀργυρέω μοι δ' ἁπλώσας. Conjiciunt ἄργυρον. — V. 7. παραινῶ, cod. παρ' αἰνῶ. — V. 13. κροτοῦσα Brunckius, alii, cod. κροτῶσα.

σύναπτε κούρους εὐπρεπεῖς·
ἅμα Φοῖβος ἀθύροι.

---

5. [59.]

ΕΙΣ ΕΡΩΤΑ.

Στέφος πλέκων ποτ' εὗρον
ἐν τοῖς ῥόδοις Ἔρωτα·
καὶ τῶν πτερῶν κατασχών
ἐβάπτισ' εἰς τὸν οἶνον,
λαβὼν δ' ἔπιον αὐτόν·
καὶ νῦν ἔσω μελῶν μου
πτεροῖσι γαργαλίζει.

---

6. [11.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων γέρων εἶ·
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σευ μέτωπον.
ἐγὼ δὲ τὰς κόμας μέν,
εἴτ' εἰσίν, εἴτ' ἀπῆλθον,
οὐκ οἶδα· τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὸ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρης.

V. 19. ἅμα Medenbachius, cod. ἀμμη. ib. ἀθύροι Mehlhornius, alii, cod. ἀθύρῃ.

5. εἰς Ἔρωτα, Spaletti τοῦ αὐτοῦ εἰς Ἔρωτα. Legitur in Anthol. Planud. (vid. Jacobs. T. II. p. 743.) ubi inscribitur Ἰουλιανοῦ ἀπὸ ὑπάρχων Αἰγυπτίου. — V. 5. ἔπιον, corrigunt ἔπινον.

6. εἰς ἑαυτόν, Spal. codd. ἄλλο. — V. 8. τοῦτο δ', cod. τὸ δέ.

7. [15.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Οὔ μοι μέλει τὰ Γύγεω,
τοῦ Σαρδίων ἄνακτος·
οὐδ' εἶλέ πώ με ζῆλος,
οὐδὲ φθονῶ τυράννοις.
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισιν
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδεν;
ὡς οὖν ἔτ' εὖδι ἐστίν,
καὶ πῖνε καὶ κύβευε,
καὶ σπένδε τῷ Λυαίῳ,
μὴ νοῦσος, ἦν τις ἔλθῃ,
λέγῃ σε μὴ δεῖ πίνειν.

---

8. [31.]

ΕΙΣ ΕΑΥΤΟΝ ΜΕΜΕΘΥΣΜΕΝΟΝ.

Ἄφες με, τοὺς θεούς σοι,
πιεῖν πιεῖν ἀμυστί·
θέλω θέλω μανῆναι.
ἐμαίνετ' Ἀλκμαίων τε
χὠ λευκόπους Ὀρέστης,
τὰς μητέρας κτανόντες·
ἐγὼ δὲ μηδένα κτάς,
πιὼν δ' ἐρυθρὸν οἶνον

---

7. εἰς ἑαυτόν, Spal. in marg. εἰς τὸ ἀφθόνως ζῆν. Legitur in Anthol. Pal. XI. 47. et in Crameri Anecd. Paris. IV. p. 376. — V. 1. τὰ Γύγεω homines docti, cod. τὰ γύγου et γύγεο. Anthol. γύγεω, Cramer Γύγω. — V. 3. Anthol. οὐδ' αἱρέει με χρυσός. — V. 4. Anthol. οὐκ αἰνέω τυράννους. — V. 9. et seqq. desunt in Anthol. et ap. Cram. — V. 15. λέγῃ Stephanus, cod. λέγει. ib. μὴ δεῖ cod., Stephanus μηδέ.

8. V. 8. δ' ἐρυθρόν, cod. in marg. δὲ λευκόν.

Θέλω Θέλω μανῆναι.
ἐμαίνετ' Ἡρακλῆς πρίν
δεινὴν κλονῶν φαρέτρην
καὶ τόξον Ἰφίτειον.
ἐμαίνετο πρὶν Αἴας
μετ' ἀσπίδος κραδαίνων
τὴν Ἕκτορος μάχαιραν·
ἐγὼ δ' ἔχων κύπελλον
καὶ στέμμα τοῦτο χαίταις,
οὐ τόξον, οὐ μάχαιραν,
Θέλω Θέλω μανῆναι.

---

9. [12.]
ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τί σοι Θέλεις ποιήσω,
τί σοι, λάλη χελιδόν;
τὰ ταρσά σευ τὰ κοῦφα
Θέλεις λαβὼν ψαλίξω;
ἢ μᾶλλον ἔνδοθέν σευ
τὴν γλῶσσαν, ὡς ὁ Τηρεύς
ἐκεῖνος, ἐκθερίξω;
τί μευ καλῶν ὀνείρων
ὑπορθρίαισι φωναῖς
ἀφήρπασας Βάθυλλον;

---

10. [77.]
ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

Ἔρωτα κήρινόν τις
νεηνίης ἐπώλει·
ἐγὼ δέ οἱ παραστάς,
πόσου Θέλεις, ἔφην, σοί
τὸ τυχθὲν ἐκπρίωμαι;

V. 16. ἔχων homines docti, cod. ἔχω.

9. Spal. add. τοῦ αὐτοῦ. — V. 2. λάλη Stephanus, cod. λάλευ.

10. Spal. add. τοῦ αὐτοῦ. — V. 5. τυχθὲν cod. in marg., vulgo τευχθέν.

ὁ δ' εἶπε δωριάζων,
λάβ' αὐτὸν ὁππόσου λῆς,
ὅπως ἂν ἐκμάθῃς νιν·
οὐκ εἰμὶ καροτέχνας,
ἀλλ' οὐ θέλω συνοικεῖν
Ἔρωτι παντορέκτᾳ.
δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
δραχμῆς, καλὸν σύνευνον.
Ἔρως, σὺ δ' εὐθέως με,
πύρωσον· εἰ δὲ μή, σύ
κατὰ φλογὸς τάκησῃ.

---

11. [13.]

ΕΙΣ ΑΤΤΙΝ.

Οἱ μὲν καλὴν Κυβήβην
τὸν ἡμίθηλυν Ἄττιν
ἐν οὔρεσιν βοῶντα
λέγουσιν ἐκμανῆναι.
οἱ δὲ Κλάρου παρ' ὄχθαις
δαφνηφόροιο Φοίβου
λάλον πιόντες ὕδωρ
μεμηνότες βοῶσιν.
ἐγὼ δὲ τοῦ Λυαίου
καὶ τοῦ μύρου κορεσθείς
καὶ τῆς ἐμῆς ἑταίρης
θέλω θέλω μανῆναι.

---

12. [14.]

ΕΙΣ ΕΡΩΤΑ.

Θέλω θέλω φιλῆσαι·
ἔπειθ' Ἔρως φιλεῖν με·
ἐγὼ δ' ἔχων νόημα

V. 8. cod. supra ὅμως ἂν ἐκ. πᾶν.
11. Εἰς Ἄττιν cod., Spal. addit τοῦ αὐτοῦ, vulgo εἰς ἑαυτόν.
12. Εἰς Ἔρωτα, Spal. addit τοῦ αὐτοῦ. — V. 2. φιλεῖν editores, cod. φιλεῖ.

ἄβουλον οὐκ ἐπείσθην.
ὁ δ' εὐθὺ τόξον ἄρας
καὶ χρυσέην φαρέτρην
μάχῃ με προὐκαλεῖτο.
κἀγὼ λαβὼν ἐπ' ὤμων
θώρηχ', ὅπως Ἀχιλλεύς,
καὶ δοῦρα καὶ βοείην,
ἐμαρνάμην Ἔρωτι.
ἔβαλλ', ἐγὼ δ' ἔφευγον·
ὡς δ' οὐκ ἔτ' εἶχ' ὁϊστούς,
ἠσχαλλεν· εἶτ' ἑαυτόν
ἀφῆκεν εἰς βέλεμνον,
μέσος δὲ καρδίης μευ
ἔδυνε, καί μ' ἔλυσεν.
μάτην δ' ἔχω βοείην·
τί γὰρ βάλωμεν ἔξω,
μάχης ἔσω μ' ἐχούσης;

---

13. [32.]

ΕΙΣ ΤΟΥΣ ΕΑΥΤΟΥ ΕΡΩΤΑΣ.

Εἰ φύλλα πάντα δένδρων
ἐπίστασαι κατειπεῖν,
εἰ κύματ' οἶδας εὑρεῖν
τὰ τῆς ὅλης θαλάσσης,
σὲ τῶν ἐμῶν Ἐρώτων
μόνον ποῶ λογιστήν.
πρῶτον μὲν ἐξ Ἀθηνῶν
Ἔρωτας εἴκοσιν θές
καὶ πεντεκαίδεκ' ἄλλους.
ἔπειτα δ' ἐκ Κορίνθου
θὲς ὁρμαθοὺς Ἐρώτων·
Ἀχαΐης γάρ ἐστιν,

V. 6. χρυσέην, cod. χρυσίην. — V. 16. καρδίης, cod. κραδίης. — V. 19. βάλωμεν vulgo, cod. βάλομεν, Steph. βαλώμεθ'.

13. Cod. sec. Spal. ἄλλο τοῦ αὐτοῦ et in marg. τοῦ αὐτοῦ εἰς ἔρωτα. — V. 3. κύματ' οἶδας Davisius, cod. κυμαθῶδες. — V. 4. τὰ Davisius, cod. τὸ — ποῶ cod., vulgo ποιῶ.

ὅπου καλαὶ γυναῖκες.
τίθει δὲ Λεσβίους μοι
καὶ μέχρι τῶν Ἰώνων
καὶ Καρίης Ῥόδου τε
δισχιλίους Ἔρωτας. —
τί φῄς; — ἐκηριώθης;
οὔπω Σύρους ἔλεξα,
οὔπω πόθους Κανώβου.
οὐ τῆς ἅπαντ' ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
τί σοι θέλεις ἀριθμῶ
καὶ τοὺς Γαδείρων ἐκτός,
τοὺς Βακτρίων τε κινδῶν
ψυχῆς ἐμῆς Ἔρωτας.

---

14. [9.]

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ἐρασμίη πέλεια,
πόθεν πόθεν πέτασσαι;
πόθεν μύρων τοσούτων
ἐπ' ἠέρος θέουσα
πνέεις τε καὶ ψεκάζεις,
τίς εἶ; τί σοι μέλει δέ;
Ἀνακρέων μ' ἔπεμψε
πρὸς παῖδα, πρὸς Βάθυλλον,
τὸν ἄρτι τῶν ἁπάντων
κρατοῦντα καὶ τύραννον.

V. 13. καλαὶ γυναῖκες. — V. 16. Καρίης Ῥόδου τε vulgo, cod. Καρίην Ῥόδον τε. — V. 18. ἐκηριώθης scripsi, cod. ἀεὶ κηρωθείς. Cf. Hesychius: κηριοῦσθαι, ἐκπλήττεσθαι. ib. κηριωθῆναι· ὑπὸ σκοτοδίνου ληφθῆναι. et ἐκηριώθη — ἐπτοήθη, ἐθανατώθη. ib. ἐκκεκηριωμένη· ἐκπεπληγμένη, ἔξω τῆς ψυχῆς γεγονυῖα· et ἐξεκηρίωσας, ἐξέστησας. — V. 24. ἀριθμῶ Brunckius, cod. ἀριθμεῖν.

14. Spal. add. τοῦ αὐτοῦ. — V. 2. πέτασσαι Brunckius, cod. πέτασα. — V. 4. θέουσα, cod. θεασα. — V. 5. πνέεις, cod. πνίεις. — V. 6. τίς εἶ; τί Brunckius, cod. τίς ἐστι.

πέπρακέ μ' ἡ Κυθήρη
λαβοῦσα μικρὸν ὕμνον
ἐγὼ δ' Ἀνακρέοντι
διακονῶ τοσαῦτα·
καὶ νῦν, ὁρᾷς, ἐκείνου
ἐπιστολὰς κομίζω·
καί φησιν εὐθέως με
ἐλευθέρην ποιήσειν.
ἐγὼ δέ, κἢν ἀφῇ με,
δούλη μενῶ παρ' αὐτῷ·
τί γάρ με δεῖ πέτασθαι
ὄρη τε καὶ κατ' ἀγρούς,
καὶ δένδρεσιν καθίζειν
φαγοῦσαν ἄγριόν τι;
ταυῦν ἔδω μὲν ἄρτον
ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
πιεῖν δέ μοι δίδωσιν
τὸν οἶνον, ὃν προπίνει·
πιοῦσα δ' ἂν χορεύσω,
καὶ δεσπότην γέροντα,
πτεροῖσι συγκαλύψω.
κοιμωμένη δ' ἐπ' αὐτῷ
τῷ βαρβίτῳ καθεύδω.
ἔχεις ἅπαντ'· ἄπελθε·
λαλιστέραν μ' ἔθηκας
ἄνθρωπε καὶ κορώνης.

---

15. [28.]

ΕΙΣ ΚΟΡΗΝ.

Ἄγε ζωγράφων ἄριστε,
γράφε ζωγράφων ἄριστε,
Ῥοδίης κάρανε τέχνης,
ἀπεοῦσαν, ὡς ἂν εἴπω,

V. 11. μ' ἡ Faber, cod. με. — V. 15. ὁρᾷς Stephanus, cod. οἷας. — V. 31. γέροντα scripsi, cod. Ἀνακρέοντα. — V. 32. συγκαλύψω, cod. supra συσκιάσω.

15. Spal. add. τοῦ αὐτοῦ. — V. 3. Ῥοδίης Stephanus, cod. ῥοδέης.

γράφε τὴν ἐμὴν ἑταίρην.
γράφε μοι τρίχας τὸ πρῶτον
ἁπαλάς τε καὶ μελαίνας·
ὁ δὲ κηρὸς ἂν δύνηται,
γράφε καὶ μύρου πνεούσας.
γράφε δ' ἐξ ὅλης παρειῆς,
ὑπὸ πορφυραῖσι χαίταις,
ἐλεφάντινον μέτωπον.
τὸ μεσόφρυον δὲ μή μοι
διάκοπτε, μήτε μίσγε·
ἐχέτω δ', ὅπως ἐκείνη,
τολεληθότως σύνοφρυν
βλεφάρων ἴτυν κελαινήν.
τὸ δὲ βλέμμα νῦν ἀληθῶς
ἀπὸ τοῦ πυρὸς ποίησον,
ἅμα γλαυκόν, ὡς Ἀθήνης,
ἅμα δ' ὑγρόν, ὡς Κυθήρης.
γράφε ῥῖνα καὶ παρειάς,
ῥόδα τῷ γάλακτι μίξας.
γράφε χεῖλος, οἷα Πειθοῦς,
προκαλοίμενον φίλημα.
τρυφεροῦ δ' ἔσω γενείου
περὶ λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
στόλισον τὸ λοιπὸν αὐτὴν
ὑποπορφύροισι πέπλοις·
διαφαινέτω δὲ σαρκῶν
ὀλίγον, τὸ σῶμ' ἐλέγχον.
ἀπέχει, βλέπω γὰρ αὐτήν·
τάχα κηρὲ καὶ λαλήσεις.

V. 22. ῥῖνα vulgo, cod. ῥῖνας. — V. 23. τῷ vulgo, cod. τό. — V. 28. πέτοιντο cod. in marg., in textu πετονται.

16. [29.]

ΕΙΣ ΝΕΩΤΕΡΟΝ ΒΑΘΥΛΛΟΝ.

Γράφε μοι Βάθυλλον οὕτω
τὸν ἑταῖρον, ὡς διδάσκω.
λιπαρὰς κόμας ποίησον
τὰ μὲν ἔνδοθεν μελαίνας,
τὰ δ' ἐς ἄκρον ἡλιώσας·
ἕλικας δ' ἐλευθέρους μοι
πλοκάμων ἄτακτα συνθείς
ἄφες, ὡς θέλουσι, κεῖσθαι.
ἁπαλὸν δὲ καὶ δροσῶδες
στεφέτω μέτωπον ὀφρῦς
κυανωτέρη δρακόντων.
μέλαν ὄμμα γοργὸν ἔστω,
κεκερασμένον γαλήνῃ,
τὸ μὲν ἐξ Ἄρηος ἔλκον,
τὸ δὲ τῆς καλῆς Κυθήρης,
ἵνα τις τὸ μὲν φοβῆται,
τὸ δ' ἀπ' ἐλπίδος κρεμᾶται.
ῥοδίνην δ' ὁποῖα μῆλον
χνοΐην ποίει παρειήν·
ἐρύθημα δ', ὡς ἂν Αἰδοῦς
δύνασαι βαλεῖν, ποίησον.
τὸ δὲ χεῖλος οὐκέτ' οἶδα,
τίνι μοι τρόπῳ ποιήσεις —
ἁπαλὸν γέμον τε Πειθοῦς.
τὸ δὲ πᾶν ὁ κηρὸς αὐτός
ἐχέτω λαλῶν σιωπῇ.
μετὰ δὲ πρόσωπον ἔστω
τὸν Ἀδώνιδος παρελθών

---

16. *νεώτερον* omisit Stephanus. — V. 4. 5. *τὰ μὲν — τὰ δ'* Stephanus, cod. *τὰς μὲν — τὰς δέ.* — V. 14. *ἕλκον* vulgo, cod. *ἕλκων.* — V. 16. *φοβῆται* vulgo, cod. *φοβεῖται.* — V. 17. *τὸ δ' ἀπ'*, cod. *τοῦ δ' ἄπ'.* ib. *κρεμᾶται*, Spal. ex cod. *κρέμαται.* — V. 18. *ῥοδίνην* cod. supra *ῥοδέην.* — V. 23. *ποιήσεις* cod. supra *ποιήσης.* — V. 24. *γέμον τε* vulgo, cod. *γέμον τό.* — V. 27. *μετὰ* cod. in marg., *μέγα* vulgo. — V. 28. *τὸν Ἀδώνιδος παρελθὼν* Salmasius, cod. *τὸ δ' Ἀ. παρῆλθον.*

ἐλεφάντινος τράχηλος.
μεταμάζιον δὲ ποίει
διδύμας τε χεῖρας Ἑρμοῦ,
Πολυδεύκεος δὲ μηρούς,
Διονυσίην δὲ νηδύν·
ἀπαλῶν δ' ὕπερθε μηρῶν,
μηρῶν τὸ πῦρ ἐχόντων,
ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
φθονερὴν ἔχεις δὲ τέχνην,
ὅτι μὴ τὰ νῶτα δεῖξαι
δύνασαι· τὰ δ' ἦν ἀμείνω.
τί με δεῖ πόδας διδάσκειν;
λάβε μισθὸν ὅσσον εἴπῃς·
τὸν Ἀπόλλωνα δὲ τοῦτον
καθελὼν ποίει Βάθυλλον.
ἢν δ' ἐς Σάμον ποτ' ἔλθῃς,
γράφε Φοῖβον ἐκ Βαθύλλου.

---

17. [21.]

ΕΡΩΤΙΚΟΝ ΩΔΑΡΙΟΝ.

Δότε μοι, δότ' ὦ γυναῖκες
Βρομίου πιεῖν ἀμυστί·
ἀπὸ καύματος γὰρ ἤδη
προδοθεὶς ἀναστενάζω.
δότε δ' ἀνθέων ἐκείνου,
στεφάνους δόθ', οἷς πυκάζω
τὰ μέτωπα μὴ 'πικαίειν.
τὸ δὲ καῦμα τῶν Ἐρώτων,
κραδίη, τίνι σκεπάζω;

V. 39. ὅτι μὴ vulgo, cod. ὅτι μοι. — V. 42. ὅσσον, Spal. ex cod. ὅσον. — V. 45. ποτ' ἔλθῃς, cod. supra εἰςέλθῃς.

17. Spal. add. τοῦ αὐτοῦ. Stephanus inscripsit εἰς ἑαυτόν. — V. 1. δότ' ὦ vulgo, cod. δότε. — V. 3. ἀπὸ cod., vulgo ὑπό. — V. 4. προδοθεὶς cod. supra, in textu πυρωθείς, Stephan. προποθείς. — V. 6. δόθ' οἷς scripsi, cod. δ' οἵους. — V. 7. μὴ 'πικαίειν scripsi, cod. μουπικαιει. — V. 9. σκεπάζω, cod. supra σκεπάσω.

---

18. [22.]

ΕΙΣ ΒΑΘΥΛΛΟΝ.

Παρὰ τὴν σκιὴν Βαθύλλου
καθίσω· καλὸν τὸ δένδρον·
ἁπαλὰς δ' ἔσεισε χαίτας
μαλακωτάτῳ κλαδίσκῳ.
παρὰ δ' αὐτῷ ἐρεθίζει
πηγὴ ῥέουσα πειθοῦς·
τίς ἂν οὖν ὁρῶν παρέλθοι
καταγώγιον τοιοῦτο;

19. [30.]

ΕΙΣ ΕΡΩΤΑ.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
δήσασαι στεφάνοισιν
τῷ Κάλλει παρέδωκαν.
καὶ νῦν ἡ Κυθέρεια
ζητεῖ λύτρα φέρουσα
λύσασθαι τὸν Ἔρωτα.
κἂν λύσῃ δέ τις αὐτόν,
οὐκ ἔξεισι, μενεῖ δέ·
δουλεύειν δεδίδακται.

18. *Εἰς Βάθυλλον* Stephanus, Spal. *ἄλλο εἰς τὸν αὐτόν.* Melhornius hoc carmen cum priore conjunxit. — V. 1. *Βαθύλλου*, Stephan. *Βάθυλλε.* — V. 2. *καθίσω* Salmasius, cod. *κάθισο*, Stephan. *κάθισον.* — V. 5. *αὐτῷ* Stephanus, cod. *αὐτόν.* — V. 7. *τίς ἂν οὖν* cod. in margine, in textu *τίς οὖν.*

19. Spaletti: *ἄλλο εἰς ἔρωτα τοῦ αὐτοῦ.* — V. 8. *μενεῖ*, Spal. ex cod. notavit *μένει.*

20. [66.]

Α Λ Λ Ο.

Ἡδυμελὴς Ἀνακρέων,
ἡδυμελὴς δὲ Σαπφώ·
Πινδαρικὸν τόδε μοι μέλος
συγκεράσας τις ἐγχέοι.
τὰ τρία ταῦτά μοι δοκεῖ,
καὶ Διόνυσος εἰσελθών,
καὶ Παφίη λιπαρόχροος,
καὐτὸς Ἔρως ἂν ἐκπιεῖν.

21. [19.]

Α Λ Λ Ο.

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε' αὖ γῆν.
πίνει θάλασσα δ' αὔρας,
ὁ δ' ἥλιος θάλασσαν,
τὸν δ' ἥλιον σελήνη.
τί μοι μάχεσθ' ἑταῖροι
καὐτῷ θέλοντι πίνειν;

22. [20.]

ΕΙΣ ΚΟΡΙΝ.

Ἡ Ταντάλου ποτ' ἔστη
λίθος Φρυγῶν ἐν ὄχθαις,
καὶ παῖς ποτ' ὄρνις ἔπτη
Πανδίονος χελιδών.

---

20. V. 3. τόδε, conjiciunt τί μοι. — V. 6. εἰσελθών, Hermannus conjecit ἐλθών. — V. 8. καὐτὸς Ἔρως ἂν ἐκπιεῖν Hermannus, cod. καὶ αὐτὸ ἔρως κἂν ἐπιεῖν.

21. Stephanus inscripsit εἰς τὸ δεῖν πίνειν. — V. 2. δὲ δένδρε' αὖ γῆν scripsi, cod. δένδρεα δ' αὐτήν. — V. 3. θάλασσα δ' αὔρας cod., conjiciunt θάλασσ' ἀναύρους.

22. Spal. addit ἄλλο.

ἐγὼ δ' ἔσοπτρον εἴην,
ὅπως ἀεὶ βλέπῃς με·
ἐγὼ χιτὼν γενοίμην,
ὅπως ἀεὶ φορῇς με.
ὕδωρ θέλω γενέσθαι,
ὅπως σε χρῶτα λούσω·
μύρον, γύναι, γενοίμην,
ὅπως ἐγώ σ' ἀλείψω.
καὶ ταινίη δὲ μαστῶν,
καὶ μάργαρον τραχήλῳ,
καὶ σάνδαλον γενοίμην·
μόνον ποσὶν πάτει με.

---

23. [I.]

ΕΙΣ ΚΙΘΑΡΑΝ.

Θέλω λέγειν Ἀτρείδας,
θέλω δὲ Κάδμον ᾄδειν·
ἀ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
ἥμεισα νεῦρα πρώην
καὶ τὴν λύρην ἅπασαν,
κἀγὼ μὲν ἦδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
χαίροιτε λοιπὸν ἡμῖν
ἥρωες· ἡ λύρη γάρ
μόνους Ἔρωτας ᾄδει.

V. 10. *σε* vulgo, cod. *σευ*. — V. 13. *μαστῶν*, Spal. *μασθῶν*. — V. 14. *μάργαρον* Pal. supra, in textu *μάργαρος*.

23. Spal. addit *τοῦ αὐτοῦ*. — V. 3. *ἀ* cod., corrigunt *ὁ*. — V. 12. *Ἔρωτας* vulgo, cod. *ἔρωτες*.

24. [2.]

ΕΡΩΤΙΚΟΝ.

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτόν,
τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσιν φρόνημα.
γυναιξὶν οὐκ ἔτ' εἶχεν.
τί οὖν δίδωσι; κάλλος
ἀντ' ἀσπίδων ἁπασᾶν,
ἀντ' ἐγχέων ἁπάντων.
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

---

25. [49.]

Ἄγε ζωγράφων ἄριστε,
λυρικῆς ἄκουε Μούσης·
φιλοπαίγμονες δὲ Βάκχαι

— — —

γράφε τὰς πόλεις τὸ πρῶτον
ἱλαράς τε καὶ γελώσας
ἑτέρᾳ πνόους ἐναύλους·
ὁ δὲ κηρὸς ἂν δύναιτο,
γράφε καὶ νόμους φιλούντων.

---

24. Ἐρωτικόν. Spal. ἄλλο ἐρωτικόν, Steph. εἰς γυναῖκας. — V. 5. τοῖς ἰχθύσιν τὸ νηκτόν, cod. τοῖς ἰκθοῖσιν τὸ νικτόν, vel scc. Spal. τοῖς ἰχθοῖσι τὸ νικτόν.

25. Vulgo inscribitur ἄλλο, in codice cohaeret cum priore carmine. — V. 3. plura videntur excidisse. — V. 7. ἑτέρᾳ πνόους homines docti, cod. ἑτεροπνόους.

26. [33.]

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Σὺ μὲν φίλη χελιδόν
ἐτησίη μολοῦσα
θέρει πλέκεις καλιήν·
χειμῶνι δ' εἰς ἄφαντος
ἢ Νεῖλον ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
ἐν καρδίῃ καλιήν.
πόθος δ' ὁ μὲν πτεροῦται,
ὁ δ' ὠόν ἐστιν ἀκμήν,
ὁ δ' ἡμίλεπτος ἤδη.
βοὴ δὲ γίγνετ' αἰεί
κεχηνότων νεοσσῶν.
Ἐρωτιδεῖς δὲ μικρούς
οἱ μείζονες τρέφουσιν.
οἱ δὲ τραφέντες εὐθύς
πάλιν κύουσιν ἄλλους.
τί μῆχος οὖν γένηται;
οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκβοῆσαι.

---

27. [16.]

ΕΡΩΤΙΚΟΝ ΩΔΑΡΙΟΝ.

Σὺ μὲν λέγεις τὰ Θήβης,
ὁ δ' αὖ Φρυγῶν ἀϋτάς·
ἐγὼ δ' ἐμὰς ἀλώσεις.
οὐχ ἵππος ὤλεσέν με,
οὐ πεζός, οὐχὶ νῆες·
στρατὸς δὲ καινὸς ἄλλος
ἀπ' ὀμμάτων με βάλλων.

---

26. Spal. τοῦ αὐτοῦ εἰς χελιδόνα inscripsit. — V. 1. χελιδόν cod. supra, in textu χελιδών. — V. 7. καρδίῃ, cod. κραδιη. — V. 10. ἡμίλεπτος editores, cod. ἡμῖν ληπτός. — V. 11. αἰεὶ vulgo, cod. ἀεί. — V. 18. σθένω, conjiciunt στέγω, sed potius ἐκβοῆσαι corruptum est.

27. Spal. addit ἄλλο. — V. 7. με βάλλων, Stephanus βαλών με.

28. [55.]

Ἐν ἰσχίοις μὲν ἵπποι
πυρὸς χάραγμ' ἔχουσιν·
καὶ Παρθίους τις ἄνδρας
ἐγνώρισεν τιάραις.
ἐγὼ δὲ τοὺς ἐρῶντας
ἰδὼν ἐπίσταμ' εὐθύς·
ἔχουσι γάρ τι λεπτὸν
ψυχῆς ἔσω χάραγμα.

29. [45.]

ΕΙΣ ΤΑ ΤΟΥ ΕΡΩΤΟΣ ΒΕΛΗ.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
παρὰ Λημνίαις καμίνοις
τὰ βέλη τὰ τῶν Ἐρώτων
ἐπόει λαβὼν σίδηρον.
ἀκίδας δ' ἔβαπτε Κύπρις
μέλι τὸ γλυκὺ λαβοῦσα·
ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
ὁ δ' Ἄρης ποτ' ἐξ αὐτῆς
στιβαρὸν δόρυ κραδαίνων·
βέλος ηὐτέλιζ' Ἔρωτος·
ὁ δ' Ἔρως, τόδ' ἐστίν, εἶπεν,
βαρύ· πειράσας νοήσεις.
ἔλαβεν βέλεμνον Ἄρης·
ὑπεμειδίασε Κύπρις.
ὁ δ' Ἄρης ἀναστενάξας,
βαρύ, φησίν· ἆρον αὐτό.
ὁ δ' Ἔρως ἔχ' αὐτό φησιν.

28. In codice hoc carmen cum priore conjunctum, vulgo inscribitur εἰς τοὺς ἐρῶντας ᾠδάριον.

29. Spal. scribit: ἄλλο τοῦ αὐτοῦ βέλους. — V. 4. ἐπόει cod., vulgo ἐποίει. — V. 12. Repetit codex hoc loco v. 17.

30. [46.]

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
χαλεπὸν δὲ καὶ φιλῆσαι·
χαλεπώτερον δὲ πάντων
ἀποτυγχάνειν φιλοῦντα.
γένος οὐδὲν εἰς Ἔρωτα·
σοφίη, τρόπος πατεῖται·
μόνον ἄργυρον βλέπουσιν.
ἀπόλοιτο πρῶτος αὐτός
ὁ τὸν ἄργυρον φιλήσας.
διὰ τοῖτον οὐκ ἀδελφός,
διὰ τοῦτον οὐ τοκῆες·
πόλεμοι, φόνοι δι' αὐτόν.
τὸ δὲ χεῖρον, ὀλλύμεσθα
διὰ τοῦτον οἱ φιλοῦντες.

---

31. [44.]

ΟΝΑΡ.

Ἐδόκουν ὄναρ τροχάζειν
πτέρυγας φέρων ἐπ' ὤμων·
ὁ δ' Ἔρως ἔχων μόλιβδον
περὶ τοῖς καλοῖς ποδίσκοις
ἐδίωκε καὶ κίχανεν.
τί θέλει τόδ' ὄναρ εἶναι;
δοκέω δ' ἔγωγε πολλοῖς
ἐν Ἔρωσί με πλακέντα
διολισθάνειν μὲν ἄλλους,
ἑνί τῳ δὲ συνδεθῆναι.

---

30. Cohaeret in codice cum praecedentibus, vulgo inscribitur εἰς Ἔρωτα. — V. 5. Videtur hic nova aliqua cantilena incipere.

31. Spal. τοῦ αὐτοῦ addit. — V. 6. τί θέλει τόδ' ὄναρ cod., τί θέλει ὄναρ τόδ' Stephanus, vulgo τί θέλει δ' ὄναρ τόδ'. — V. 9. διολισθάνειν Mehlhornius, cod. διολισθένειν, Steph. διολισθανεῖν. ib. ἄλλους vulgo, cod. et Steph. ἄλλοις. — V. 10. τῳ δὲ Pauwius, vulgo τῷδε.

32. [7.]

ΕΡΩΤΙΚΟΝ.

Ὑακινθίνῃ με ῥάβδῳ
χαλεπῶς Ἔρως ῥαπίζων
ἐκέλευε συντροχάζειν.
διὰ δ' ὀξέων μ' ἀναύρων
ξυλόχων τε καὶ φαράγγων
τροχάοντα τεῖρεν ἱδρώς·
καρδίη δὲ ῥινὸς ἄχρις
ἀνέβαινε, κἂν ἀπέσβην.
ὁ δ' Ἔρως μέτωπα σείων
ἁπαλοῖς πτεροῖσιν εἶπεν,
σὺ γὰρ οὐ δύνῃ φιλῆσαι.

---

33. [4.]

ΕΡΩΤΙΚΟΝ.

Ἐπὶ μυρσίναις τερείναις,
ἐπὶ λωτίναις τε ποίαις
στορέσας θέλω προπίνειν·
ὁ δ' Ἔρως χιτῶνα δήσας
ὑπὲρ αὐχένος παπύρῳ
μέθυ μοι διακονείτω.
τροχὸς ἅρματος γὰρ οἷα
βίοτος τρέχει κυλισθείς·
ὀλίγη δὲ κεισόμεσθα
κόνις ὀστέων λυθέντων.
τί σε δεῖ λίθον μυρίζειν;
τί δὲ γῇ χέειν μάταια;

---

32. Spal. ἄλλο ἐρωτικόν. — V. 2. χαλεπῶς Stephan. cod. χαλεπός. ib. ῥαπίζων Brunckius, cod. βαδίζων. — V. 3. ἐκέλευε, Stephanus ἐκέλευσε. — V. 6. τεῖρεν ἱδρὼς Salmasius, cod. πεῖρεν ἱδρός.

33. Spal. ἄλλο ἐρωτικὸν τοῦ αὐτοῦ et in margine ᾠδάριον. — V. 1. τερείναις, cod. τερίναις. — V. 2. ποίαις, cod. πόαις. — V. 6. διακονείτω, cod. sec. Spal. διακονεῖτο. — V. 7. ἅρματος γὰρ vulgo, cod. γὰρ ἅρματος. — V. 12. χέειν vulgo, cod. καίειν.

ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, κάλει δ' ἑταίρην.
πρὶν ἔρως ἐκεῖ μ' ἀπελθεῖν
ὑπὸ νεοτέρων χορείας,
σκεδάσαι θέλω μερίμνας.

---

34. [3.]

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποτ' ὥραις,
στρέφεται ὅτ' Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέαται κόπῳ δαμέντα,
τότ' Ἔρως ἐπισταθείς μευ
θυρέων ἔκοπτ' ὀχῆας.
τίς, ἔφην, θύρας ἀράσσει; κατά μευ σχίζεις ὀνείρους.
ὁ δ' Ἔρως, ἄνοιγέ, φησιν· βρέφος εἰμί, μὴ φόβησαι· βρέχομαι δὲ κἀσέληνον κατὰ νύκτα πεπλάνημαι.
ἐλέησα ταῦτ' ἀκούσας, ἀνὰ δ' εὐθὺ λύχνον ἅψας ἀνέῳξα, καὶ βρέφος μέν ἐσορῶ φέροντα τόξον πτέρυγάς τε καὶ φαρέτρην. παρὰ δ' ἑστίην καθῖσα παλάμαις τε χεῖρας αὐτοῦ

V. 16. ἔρως ἐκεῖ μ' corruptum, conjiciunt ἔρως ἔχει μ', alia.

34. Spal. in marg. ἄλλο. — V. 2. στρέφεται, cod. στρεφέτην. — V. 7. θυρέων, cod. θυράων. — V. 9. σχίζεις, vulgo et sic Spal. ex cod., Levesqu. σκίξεις, Steph. σχίσεις. — V. 11. φόβησαι, Spal. φοβῆσαι. — V. 17. ἐσορῶ vulgo, cod. εἰσορῶ. — V. 19. καθῖσα Mehlhornius conjecit, cod. καθίξας et καθίσας. — V. 20. παλάμαις τε, cod. παλάμας τε et supra καί, vulgo παλάμαισι.

ἀνέθαλπον, ἐκ δὲ χαίτης
ἀπέθλιβον ὑγρὸν ὕδωρ.
ὁ δ', ἐπεὶ κρύος μεθῆκεν,
φέρε, φησί, πειράσωμεν
τόδε τόξον, εἴ τί μοι νῦν
βλάβεται βραχεῖσα νευρή.
τανύει δὲ καί με τύπτει
μέσον ἦπαρ, ὥσπερ οἶστρος·
ἀνὰ δ' ἄλλεται καχάζων,
ξένε δ' εἶπε συγχάρηθι·
κέρας ἀβλαβὲς μέν ἐστιν,
σὺ δὲ καρδίην πονήσεις.

---

35. [43.]

ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαρίζομέν σε, τέττιξ,
ὅτε δενδρέων ἐπ' ἄκρων
ὀλίγην δρόσον πεπωκώς
βασιλεὺς ὅπως ἀείδεις·
σὰ γάρ ἐστι κεῖνα πάντα,
ὁπόσα βλέπεις ἐν ἀγροῖς,
χὠπόσα φέρουσιν ὧραι.
σὶ δὲ φιλία γεωργῶν,
ἀπὸ μηδενός τι βλάπτων·
σὺ δὲ τίμιος βροτοῖσιν,
θέρεος γλυκὺς προφήτης·
φιλέουσι μέν σε Μοῦσαι,
φιλέει δὲ Φοῖβος αὐτός,
λιγυρὴν δ' ἔδωκεν οἴμην·

V. 24. πειράσωμεν cod. supra, in textu πειράσωμαι. — V. 25. εἴ τι Stephanus, cod. ἐστὶ vel ἔστι. — V. 31. ἐστιν vulgo, cod. ἐμοί. — V. 32. καρδίην, cod. καρδίαν.

35. Spal. ἄλλο εἰς τέττιγα ᾠδάριον. — V. 4. ἀείδεις cod. supra ἀείδης. — V. 5. κεῖνα vulgo, cod. καινά. — V. 7. χὠπόσα vulgo, cod. κοπόσα, Steph. χ' ὁπόσα. ib. ὧραι, cod. supra ὕλαι. — V. 8. φιλία cod., conjiciunt φίλιος εἶ, alia.

τὸ δὲ γῆρας οὔ σε τείρει.
σοφέ, γηγενής, φίλυμνε,
ἀπαθής, ἀναιμόσαρκε,
σχεδὸν εἶ θεοῖς ὅμοιος.

---

36. [40.]

ΕΙΣ ΕΡΩΤΑ.

Ἔρως ποτ' ἐν ῥόδοισιν
κοιμωμένην μέλιτταν
οὐκ εἶδεν, ἀλλ' ἐτρώθη
τὸν δάκτυλον· παταχθείς
τὰς χεῖρας ὠλόλυξεν·
δραμὼν δὲ καὶ πετασθείς
πρὸς τὴν καλὴν Κυθήρην,
ὄλωλα, μᾶτερ, εἶπεν,
ὄλωλα κἀποθνήσκω·
ὄφις μ' ἔτυψε μικρός
πτερωτός, ὃν καλοῦσιν
μέλιτταν οἱ γεωργοί.
ἃ δ' εἶπεν· εἰ τὸ κέντρον
πονεῖ τὸ τᾶς μελίττας,
πόσον δοκεῖς πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

---

37. [23.]

ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΝ.

Ὁ πλοῦτος εἴ γε χρυσοῦ
τὸ ζῆν παρεῖχε θνητοῖς,

V. 15. οὔ σε τείρει vulgo, cod. εὖ σε τηρεῖ. — V. 16. γηγενής, φίλυμνε vulgo, cod. γεγενῆ φίλυπνε. — V. 17. ἀπαθής, cod. ἀπαθές.

36. Spal. add. ἄλλο. — V. 5. ὠλόλυξεν, Spal. ex cod. ὀλόλυξαν. — V. 14. τᾶς. Spal. τάς.

37. Steph. inscripsit εἰς χρυσόν. — V. 2. θνητοῖς cod. supra, in textu βροτοῖς.

ἐκαρτέρουν φυλάττων,
ἵν', ἂν θανεῖν ἐπέλθῃ,
λάβῃ τι καὶ παρέλθῃ.
εἰ δ' οὖν τὸ μὴ πρίασθαι
τὸ ζῆν ἔνεστι θνητοῖς,
τί χρυσὸς ὠφελεῖ με;
θανεῖν γὰρ εἰ πέπρωται,
τί καὶ μάτην στενάζω;
τί καὶ γόους προπέμπω;
ἐμοὶ γένοιτο πίνειν,
πιόντι δ' οἶνον ἡδὺν
ἐμοῖς φίλοις συνεῖναι,
ἐν δ' ἁπαλαῖσι κοίταις
τελεῖν τὰν Ἀφροδίταν.

---

38. [8.]

ΟΝΑΡ.

Διὰ νυκτῶν ἐγκαθεύδων
ἁλιπορφύροις τάπησιν,
γεγανυμένος Λυαίῳ,
ἐδόκουν ἄκροισι ταρσοῖς
δρόμον ὠκὺν ἐκτανύειν
μετὰ παρθένων ἀθύρων.
ἐπεκερτόμουν δὲ παῖδες
ἁπαλώτεροι Λυαίου,
δακέθυμά μοι λέγοντες
διὰ τὰς καλὰς ἐκείνας.
ἐθέλοντα δὲ φιλῆσαι
φύγον ἐξ ὕπνου με πάντες.
μεμονωμένος δ' ὁ τλήμων
πάλιν ἤθελον καθεύδειν.

V. 4. ἵν' ἂν θανεῖν ἐπέλθῃ vulgo, cod. ἵν' ἀσθενεῖν ἐπέλῃ. — V. 6. οὖν τὸ μὴ scripsi, cod. οὖν μὴ τό, Brunckius conjecit οὔ τί που male. — V. 8. ὠφελεῖ, cod. ὀφελεῖ.

38. Spal. add. τοῦ αὐτοῦ in margine. — V. 1. νυκτῶν cod., vulgo νυκτός. — V. 3. γεγανυμένος, Barnesius γεγανωμένος conjecit. — V. 11. ἐθέλοντα Stephanus, cod. ἐθέλοντι. ib. δὲ cod., vulgo δή. — V. 12. με Stephanus, cod. μοι.

39. [41].

ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

Ἱλαροὶ πίωμεν οἶνον,
ἀναμέλψομεν δὲ Βάκχον,
τὸν ἐφευρετὰν χορείας,
τὸν ὅλας ποθοῦντα μολπάς,
τὸν ὁμότροπον Ἔρωτι,
τὸν ἐρώμενον Κυθήρης·
δι' ὃν ἡ Μέθη λοχεύθη,
δι' ὃν ἡ Χάρις ἐτέχθη,
δι' ὃν ἀμπαύεται Λύπα,
δι' ὃν εὐνάζετ' Ἀνία.
τὸ μὲν οὖν πόμα κερασθὲν
ἁπαλοὶ φέρουσι παῖδες·
τὸ δ' ἄχος πέφευγε μιχθέν
ἀνεμοτρόφῳ θυέλλῃ.
τὸ μὲν οὖν πόμα λάβωμεν,
τὰς δὲ φροντίδας μεθῶμεν·
τί γάρ ἐστί σοι τὸ κέρδος
ὀδυνωμένῳ μερίμναις;
πόθεν οἴδαμεν τὸ μέλλον;
ὁ βίος βροτοῖς ἄδηλος·
μεθύων θέλω χορεύειν,
μεμυρισμένος δὲ παίζειν.
μετὰ καὶ καλῶν γυναικῶν·
μελέτω δὲ τοῖς θέλουσιν
ὅσον ἐστὶν ἐν μερίμναις.
ἱλαροὶ πίωμεν οἶνον,
ἀναμέλψομεν δὲ Βάκχον.

---

39. Spal. add. τοῦ αὐτοῦ et in marg. ἄλλο. — V. 1. ἱλαροὶ πίωμεν vulgo, cod. λιαρὸν πίομεν. — V. 11. πόμα cod. supra, in textu πῶμα. — V. 14. ἀνεμοτρόφῳ cod. supra, in textu ἀνεμοτρόπῳ. — V. 15. πόμα cod., vulgo πῶμα. — V. 16. τὰς δὲ φροντίδας cod., Hermannus τὸ δὲ φροντίδος. — V. 17. τὸ addidit Fabri filia, in cod. deest. — V. 18. ὀδυνωμένῳ Aemil. Portus, cod. ὀδυρώμενος. — V. 22. postea quaedam excidisse putant.

40. [47.]

ΕΙΣ ΠΡΕΣΒΥΤΗΝ.

Φιλῶ γέροντα τερπνόν,
φιλῶ νέον χορευτάν·
ἂν δ' ὁ γέρων χορεύῃ,
τρίχας γέρων μέν ἐστιν,
τὰς δὲ φρένας νεάζει.

41. [24.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐπειδὴ βροτὸς ἐτέχθην
βιότου τρίβον ὁδεύειν,
χρόνον ἔγνων, ὃν παρῆλθον·
ὃν δ' ἔχω δραμεῖν, οὐκ οἶδα.
μέθετέ με φροντίδες·
μηδέν μοι καὶ ὑμῖν ἔστω.
πρὶν ἐμὲ φθάσῃ τὸ τέλος,
παίξω, γελάσω, χορεύσω
μετὰ τοῦ καλοῦ Λυαίου.

42.

ΕΙΣ ΤΟ ΕΑΡ.

Τι καλόν ἐστι βαδίζειν,
ὅπου λειμῶνες κομῶσιν,
ὅπου λεπτὴν ἡδυτάτην
ἀναπνεῖ Ζέφυρος αὔρην,
κλῆμα τὸ Βάκχειον ἰδεῖν,

40. Spal. εἰς ἑαυτὸν ἢ εἰς ἕτερον πρεσβυτῶν et in marg. ἄλλο. — V. 2. χορευτὰν cod. supra, in textu χορευτήν. — V. 3. ἂν δ' ὁ γέρων, Stephanus: γέρων δ' ὅταν.

41. Spal. add. ἄλλο. — V. 1. ἐτέχθην cod. supra, in textu ἐτύχθην. — V. 3. ἔγνων, cod. ἔγνον. — V. 6. ἔστω cod. supra, in textu ἔστο.

42. Cod. τοῦ αὐτοῦ εἰς τὸ ἔαρ ἤτοι κάλος. — V. 5. ἰδεῖν, cod. εἰδεῖν.

χὺπὸ τὰ πέταλα δῦναι,
ἁπαλὴν παῖδα κατέχειν,
Κύπριν ὅλην πνέουσαν.

---

43. [42.]

ΕΡΩΤΙΚΟΝ ΩΔΑΡΙΟΝ.

Ποθέω μὲν Διονύσου
φιλοπαίγμονος χορείας·
φιλέω δ', ὅταν ἐφήβου
μετὰ συμπότου λυρίζω·
στεφανίσκους δ' ὑακίνθων
κροτάφοισιν ἀμφιπλέξας
μετὰ παρθένων ἀθύρειν
φιλέω μάλιστα πάντων.
φθόνον οὐκ οἶδ' ἐμὸν ἦτορ,
φθόνον οὐκ οἶδα δαϊκτόν.
φιλολοιδόροιο γλώττης
φεύγω βέλεμνα κωφά·
στυγέω μάχας παροίνους
πολυκώμους κατὰ δαῖτας,
νεοθηλέσ' ἅμα κούραις
ὑπὸ βαρβίτῳ χορεύων
βίον ἥσυχον φέρωμεν.

V. 7. κατέχειν Pauwius, cod. κατέχων.

43. Spal. add. τοῦ αὐτοῦ. — V. 1. ποθέω μέν, cod. ποθέωμεν. — V. 9. homines docti ejiciunt. — V. 11. φιλολοιδόροιο, cod. φιλολοιδόροισι. — V. 12. φεύγω vulgo, cod. ἔφευγε. ib. κωφά Valckenarius, cod. κοῦφα. — V. 13. στυγέω, cod. Pal. supra στυγέων. — V. 15. νεοθηλέσ' Barnesius, cod. νεοθηλαῖσιν.

44. [6.]

ΕΡΩΤΙΚΟΝ ΩΔΑΡΙΟΝ.

Στεφάνους μὲν κροτάφοισιν
ῥοδίνους συναρμόσαντες
μεθύομεν ἁβρὰ γελῶντες.
ὑπὸ βαρβίτῳ δὲ κούρα
κατακίσσοισι βρέμοντας
πλοκάμοις φέρουσα θύρσους
χλιδανόσφυρος χορεύει.
ἁβροχαίτας δ' ἅμα κοῦρος
στομάτων ἀδὺ πνεόντων
κατὰ πηκτίδων ἀθύρει
προχέων λίγειαν ὀμφάν.
ὁ δ' Ἔρως ὁ χρυσοχαίτας
μετὰ τοῦ καλοῦ Λυαίου
καὶ τῆς καλῆς Κυθήρης
τὸν ἐπήρατον γεραιοῖς
κῶμον μέτεισι χαίρων.

---

45. [5.]

ΕΙΣ ΡΟΔΟΝ.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων
μίξωμεν Διονύσῳ·
τὸ ῥόδον τὸ καλλίφυλλον
κροτάφοισιν ἁρμόσαντες
πίνωμεν ἁβρὰ γελῶντες.
ῥόδον, ὦ φέριστον ἄνθος,

---

44. V. 3. *μεθύομεν*, corrigunt *μεθύωμεν*. — V. 5. *κατακίσσοισι*, cod. *κατὰ κισσοῖσι*. — V. 7. *χορεύει*, cod. supra *χορεύη*. — V. 8. *ἁβροχαίτας δ' ἅμα κοῦρος* vulgo, cod. *ἁβροχαῖται δ' ἅμα κοῦροι*. — V. 10. *ἀθύρει* scripsi, cod. *ἀθύρειν*, vulgo *ἀθύρων*. — V. 11. *προχέων* cod. supra, in textu *προχέει*. — V. 14. *Κυθήρης*, cod. *Κυθηρείας*. — V. 16. *μέτεισι*, cod. *μεθίησι*.

45. Cod. *ἄλλο ὁμοίως ᾠδάριον* et in marg. *εἰς ῥόδον*. — V. 1. *ῥόδον* cod. supra, in textu *ῥόδων*. — V. 2. *Διονύσῳ*, cod. *τῷ Διονύσῳ*, sed *τῷ* expunxit librarius.

ῥόδον ἔαρος μέλημα·
ῥόδα καὶ θεοῖσι τερπνά·
ῥόδον, ᾧ παῖς ὁ Κυθήρης
στέφεται καλοὺς ἰούλους
Χαρίτεσσι συγχορεύων.
στέψον οὖν με, καὶ λυρίζων
παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
μετὰ κούρης βαθυκόλπου
ῥοδίνοισι στεφανίσκοις
πεπυκασμένος χορεύσω.

---

46. [25.]

ΕΙΣ ΟΙΝΟΝ ΩΔΑΡΙΟΝ.

Ὅταν πίνω τὸν οἶνον,
εὔδουσιν αἱ μέριμναι.
τί μοι γόων, τί μοι πόνων,
τί μοι μέλει μεριμνῶν;
θανεῖν με δεῖ, κἂν μὴ θέλω·
τί δὲ τὸν βίον πλανῶμαι;
πίωμεν οὖν τὸν οἶνον,
τὸν τοῦ καλοῦ Λυαίου·
σὺν τῷ δὲ πίνειν ἡμᾶς
εὔδουσιν αἱ μέριμναι.

V. 7. ἔαρος cod., vulgo εἴαρος. — V. 9. ᾧ Hermannus, cod. ὁ. — V. 10. καλοὺς ἰούλους Lennepius, cod. καλοῖς ἰούλοις. — V. 13. στέψον οὖν με καὶ cod., corrigit Mehlhornius: στέψον με καί, alii aliter. ib. λυρίζων Lennepius, cod. λυρίζω, Steph. λυρίσω.

46. Spal. in marg. add. τοῦ αὐτοῦ. — V. 1. πίνω cod., πίω Barnesius. — V. 3. τί μοι γόων, τί μοι πόνων, cod. τι μοι πόνων, τι μοι γόων. — V. 6. τί δὲ cod., vulgo τί.

47. [37.]

ΕΙΣ ΤΟ ΕΑΡ.

Ἴδε πῶς ἔαρος φανέντος
Χάριτες βρύουσι ῥόδα·
ἴδε πῶς κῦμα θαλάσσης
ἀπαλύνεται γαλήνῃ·
ἴδε πῶς νῆσσα κολυμβᾷ·
ἴδε πῶς γέρανος ὁδεύει.
ἀφελῶς δ' ἔλαμψε Τίταν·
νεφελῶν σκιαὶ δονοῦνται·
τὰ βροτῶν δ' ἔλαμψεν ἔργα·
καρποῖς γαῖα προκύπτει.
καρπὸς ἐλαίας προκύπτει.
Βρομίου στέφεται νᾶμα.
κατὰ φύλλον κατὰ κλῶνα
καθελὼν ἤνθησε καρπός.

---

48. [38.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐγὼ γέρων μέν εἰμι,
νέων πλέον δὲ πίνω·
κἂν δέησῃ με χορεύειν,
. . . . . .
σκῆπτρον ἔχων τὸν ἀσκόν.
ὁ νάρθηξ δ' οὐδέν ἐστιν·
ὁ μὲν θέλων μάχεσθαι,
παρέστω καὶ μαχέσθω.
ἐμοὶ κύπελλον, ὦ παῖ,

---

47. V. 1. ἔαρος φανέντος cod., Herm. conjecit φανέντος ἦρος. — V. 2. βρύουσι ῥόδα cod., vulgo ῥόδα βρύουσιν. — V. 10. et 11. exhibui, quem ad modum in cod. leguntur, alteruter ejiciendus. fortasse scribendum: καρποῖς ἐλαία προκύπτει. — V. 13. κλῶνα vulgo, cod. κλόνον. — V. 14. ἤνθησε cod., vulgo ἤνθισε.

48. V. 3. δεήσῃ με cod., Hermannus μὲν δέῃ. Deinde indicavi lacunam, homines docti hic inserunt V. 14 et 15. — V. 5. ἔχων, cod., Stephanus ἔχω. — V. 6. ὁ νάρθηξ δ' οὐδέν ἐστιν cod., Mehlhornius ὃ δ' οὐδέν ἐσθ' ὁ νάρθηξ. — V. 8. παρέστω καὶ cod., corrigunt πάρεστι γάρ.

μελίχρουν οἶνον ἡδύν
ἐγκεράσας φόρησον.
ἐγὼ γέρων μέν εἰμι
* * * * *
Σειληνὸν ἐν μέσοισιν
μιμούμενος χορεύσω.

---

49. [26.]

ΕΙΣ ΦΙΛΟΠΟΤΗΝ.

Ὅταν ὁ Βάκχος εἰσέλθῃ,
εὔδουσιν αἱ μέριμναι·
δοκῶν δ' ἔχειν τὰ Κροίσου
θέλω καλῶς ἀείδειν·
κισσοστεφής τε κεῖμαι,
πατῶ δ' ἅπαντα θυμῷ.
ὅπλιζ', ἐγὼ δὲ πίνω.
* * * *
φέρε μοι κύπελλον, ὦ παῖ·
μεθύοντα γάρ με κεῖσθαι
πολὺ κρεῖσσον ἢ θανόντα.

---

50. [32.]

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Τοῦ Διὸς ὁ παῖς ὁ Βάκχος,
ὁ λυσίφρων ὁ Λυαῖος,
ὅταν εἰς φρένας τὰς ἐμάς
εἰσέλθῃ μεθυδότας,

V. 10. *μελίχρουν* cod., corrigunt *μελιχρόν*.

49. Spal. add. ἄλλο ct in marg. τοῦ αὐτοῦ εἰς φιλοπότην. — V. 1. *ὅταν ὁ Βάκχος εἰσέλθῃ* cod., Hermannus: *ὅταν Βάκχος ἐσέλθῃ*. — V. 3. *δοκῶν* vulgo, cod. *δοκῶ*.

50. Spal. in marg. τοῦ αὐτοῦ εἰς Διόνυσον ἤγουν εἰς οἶνον. — V. 2. *ὁ Λυαῖος* cod., vulgo articulum abjiciunt. — V. 3. *ὅταν εἰς φρένας τὰς ἐμάς* cod., Barnesius: *ὅταν φρένας γ' ἐς ἁμάς*. — V. 4. *μεθυδότας* cod., corrigunt *μεθυδώτας*.

διδάσκει με χορεύειν.
ἔχω δέ τι καὶ τερπνόν
ὁ τᾶς μέθας ἐραστάς·
μετὰ κρότων, μετ' ᾠδᾶς
τέρπει με καφροδίτα,
καὶ πάλιν θέλω χορεύειν.

---

51. [39.]

ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τότ' ἐμεῦ ἦτορ ἰανθέν
λιγαίνειν ἄρχεται Μούσας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ἀπορίπτονται μέριμναι
πολυφρόντιδές τε βουλαί
ἐς ἀλικτύπους ἀήτας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
λυσιπαίγμων τότε Βάκχος
πολυανθέσιν μ' ἐν αὔραις
δονέει μέθῃ γανώσας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον
στεφάνους ἄνθεσι πλέξας,
ἐπιθεὶς δὲ τῷ καρήνῳ,
βιότου μέλπω γαλήνην.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
μύρῳ εὐώδεϊ τέγξας
δέμας, ἀγκάλαις δὲ κούρην
κατέχων Κύπριν ἀείδω.

V. 5. διδάσκει με cod., Mehlhornius διδάσκομαι. — V. 6. δέ τι καὶ cod., corrigunt δὲ καί τι. — V. 9. με καφροδίτα cod., corrigunt καί μ' Ἀφροδίτα. — V. 10. πάλιν cod., Barnesius πάλι.

51. Spal. add. τοῦ αὐτοῦ. — V. 2. τότ' ἐμεῦ Brunckius, cod. τότε μευ. — V. 3. λιγαίνειν ἄρχεται Μούσας, codex, quod varie tentaverunt homines docti. — V. 5. ἀπορίπτονται vulgo, cod. ἀπορύπτεται. — V. 9. λυσιπαίγμων cod., Piersonus conjecit λυσιπήμων. ib. τότε vulgo, cod. ὅτε. vel sec. Spal. ὅτε μοι. — V. 10. μ' omittit codex.

ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ὑπὸ κυρτοῖσι κυπέλλοις
τὸν ἐμὸν νόον ἁπλώσας
θιάσῳ τέρπομαι κούρων.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τοῦτό μοι μόνῳ τὸ κέρδος·
τοῦτ' ἐγὼ λαβὼν ἀποίσω·
τὸ θανεῖν γὰρ μετὰ πάντων.

---

52. [34.]

ΕΙΣ ΚΟΡΙΝΝΑ.

Μή με φύγῃς ὁρῶσα
τὰν πολιὰν ἔθειραν·
μηδ', ὅτι σοὶ πάρεστιν
ἄνθος ἀκμαῖον, τἀμά
δῶρα φίλα διώξῃς.
ὅρα κἀν στεφάνοισιν
ὅπως πρέπει τὰ λευκά
ῥόδοις κρίνα πλακέντα.

---

53. [36.]

ΕΙΣ ΤΟ ΑΝΕΤΩΣ ΖΗΝ.

Τί με τοὺς νόμους διδάσκεις
καὶ ῥητόρων ἀνάγκας;
τί δέ μοι λόγων τοσούτων,
τῶν μηδὲν ὠφελούντων;
μᾶλλον δίδασκε πίνειν

V. 21. κυρτοῖσι Barnesius, cod. κυρτοῖς δέ. — V. 25. et 26. τοῦτο codex, vulgo τόδ' ἐμοὶ et τόδ' ἐγώ. — V. 27. γὰρ cod. in textu, sed supra δεῖ. ει

52. Spal. add. τοῦ αὐτοῦ. — V. 2. ἔθειραν, cod. αἴθηραν. — V. 4. τἀμὰ scripsi, cod. τὰς ἐμάς. — V. 5. δῶρα φίλα διώξῃς scripsi, cod. δῶρα τὰ φίλτρα διώξεις, Stephanus τἀμὰ φίλτρα διώξῃς. — V. 6. κἀν vulgo, cod. κὰν ἐν. — V. 8. ῥόδοις vulgo, cod. ῥοΐδοις.

53. Spal. add. τοῦ αὐτοῦ.

ἁπαλὸν πόμα Λυαίου·
μᾶλλον δίδασκε παίζειν
μετὰ χρυσῆς Ἀφροδίτης.
πολιαὶ στέφουσι κάραν·
βάλ' ὕδωρ, δὸς οἶνον, ὦ παῖ,
τὴν ψυχήν μου κάρωσον·
βραχὺ μὴ ζῶντα καλύπτεις·
ὁ θανὼν οὐκ ἐπιθυμεῖ.

---

54. [54.]

ΕΙΣ ΕΑΥΤΟΝ.

Ὅτ' ἐγὼ νέοις ὁμιλῶν
ἐςορῶ, πάρεστιν ἥβα.
τότε δέ, τότ' ἐς χορείην
ὁ γέρων ἐγὼ πτεροῦμαι.
περίμεινόν με Κυβήβα.
παράδος· θέλω στέφεσθαι·
πολιὸν δὲ γῆρας ἔκας·
νέος ἐν νέοις χορεύσω.
Διονυσίης δέ μοί τις
φερέτω ῥοῦν ἀπ' ὀπώρης,
ἵν' ἤδη γέροντος ἀλκήν
δεδαηκότος μὲν εἰπεῖν,
δεδαηκότος δὲ πίνειν,
χαριέντως δὲ μανῆναι.

V. 6. πόμα cod., vulgo πῶμα. — V. 9. στέφουσι κάραν cod., vulgo κάραν στέφουσιν. — V. 10. βάλ' ὕδωρ, δὸς οἶνον Bothius, cod. δὸς ὕδωρ, βάλ' οἶνον.

54. Spal. ἄλλο εἰς ἑαυτὸν ὁμοίως. — V. 1. νέοις ὁμιλῶν scripsi, Stephanus νέοις ὁμίλουν, cod. σε νέοις ὁμίλουν, nisi forte σε deest etiam in cod. — V. 2. ἐςορῶ vulgo, cod. ἐςορῶν. — V. 3. δὲ cod., vulgo δή. — V. 5. περίμεινον, cod. supra παραμένω. — V. 7. δὲ γῆρας ἔκας cod., corrigunt ἔκας δὲ γῆρας. — V. 9. Διονυσίης vulgo, cod. Διονυσίοις. — V. 10. ῥοῦν Pauwius, cod. ῥοιάν, sed supra ῥόον.

55. [35.]

ΕΙΣ ΕΥΡΩΠΗΝ.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
δοκεῖ τις εἶναί μοι Ζεύς·
φέρει γὰρ ἀμφὶ νώτοις
Σιδονίην γυναῖκα.
περᾷ δὲ πόντον εὐρύν,
τέμνει δὲ κῦμα χηλαῖς·
οὐκ ἂν δὲ ταῦρος ἄλλος
ἐξ ἀγέλης ἐλασθείς
ἔπλευσε τὴν θάλασσαν,
εἰ μὴ μόνος ἐκεῖνος.

---

56. [53.]

ΕΙΣ ΡΟΔΟΝ.

Στεφανηφόρου μετ' ἦρος
μέλομαι ῥόδον τέρεινον
σὺν ἑταίρῳ ὀξὺ μέλπειν·
τόδε γὰρ θεῶν ἄημα,
τόδε καὶ βροτῶν τὸ χάρμα,
Χάρισίν τ' ἄγαλμ' ἐν ὥραις
πολυανθέων Ἐρώτων,
ἀφροδίσιόν τ' ἄθυρμα.
τόδε καὶ μέλημα μύθοις,
χαρίεν φυτόν τε Μουσῶν·
γλυκὺ καὶ ποιοῦντι πεῖραν
ἐν ἀκανθίναις ἀταρποῖς·
γλυκὺ δ' αὖ λαβόντι θάλπειν

---

55. V. 4. *Σιδονίην* cod. supra, in textu *Σιδωνίαν*. — V. 5. *περᾷ δὲ* vulgo, cod. *παρὰ δέ*. — V. 7. *οὐκ ἂν* vulgo, cod. *οὐκ ἄν οὖν*. — V. 10. *μόνος*, Steph. *μόνος γ'*.

56. V. 1. *στεφανηφόρου* vulgo, cod. *στεφανηφόρον*. — V. 2. *μέλομαι* cod. in textu, supra *μέλπομαι*. ib. *τέρεινον* Salmasius, cod. *τερινόν*. — V. 3. *σὺν ἑταίρῳ* scripsi, cod. *σὺν ἑταιρεῖ*. ib. *ὀξὺ μέλπειν* Hermannus, cod. *αὔξει μελπν* vel *μελπς*. — V. 5. *τὸ* vulgo, in cod. omissum, fortasse scribendum *βροτῶν χάρισμα*.

μαλακαῖσι χερσὶ κούφαις
προσάγειν τ' Ἔρωτος ἄνθος.
τῷ σοφῷ τί δ' αὖ, τί τερπνόν
θαλίαις τε καὶ τραπέζαις
Διονυσίαις τ' ἑορταῖς
δίχα τοῦ ῥόδου γένοιτ' ἄν;

---

57. [53.]
(ΑΛΛΟ ΕΙΣ ΡΟΔΟΝ.)

Ῥοδοδάκτυλος μὲν Ἠώς,
ῥοδοπήχεες δὲ Νύμφαι,
ῥοδόχρους δὲ Κυθέρεια
παρὰ τῶν σοφῶν καλεῖται.
τόδε καὶ νοσοῦσιν ἀρκεῖ,
τόδε καὶ νεκροῖς ἀμύνει,
τόδε καὶ χρόνον βιᾶται·
χαρίεν ῥόδων δὲ γῆρας
νεότητος ἔσχεν ὀδμήν.
φέρε δὴ φύσιν λέγωμεν·
χαροπῆς ὅτ' ἐκ θαλάσσης
δεδροσωμένην Κυθήρην
ἐλόχευε Πόντος ἀφρῷ,
πολεμόκλονόν τ' Ἀθήνην
κορυφῆς ἐδείκνυε Ζεύς,
φοβερὰν θέαν Ὀλύμπῳ,
τότε καὶ ῥόδων ἀγητόν,
νέον ἔρνος ἤνθισε Χθών,

V. 15. προσάγειν τ' Mehlhornius, cod. προσάγων τ', vulgo προσάγοντ'. — V. 16. τῷ σοφῷ τί δ' αὖ, τί τερπνὸν scripsi, cod. ἃ σοφῶ τόδ' αὐτῶ τερπνόν. — V. 19. δίχα Mehlhornius, cod. τί δὲ δίχα, Stephanus τί δ' ἄνευ ῥόδου.

57. Vulgo hoc carmen cum praegresso conjunctum est, sed in codice dirimitur. — V. 5. νοσοῦσιν cod. supra, in textu νόσοισιν. — V. 10. φύσιν cod. in textu, supra φυήν. — V. 15. ἐδείκνυε, cod. supra ἔδειξεν ὁ. — V. 16. θέαν, Mehlhornius θεὰν scripsit. — V. 17. ῥόδον ἀγητὸν cod., vulgo ῥόδων ἀγητῶν. — V. 18. ἤνθισε vulgo, cod. ἤνθησε.

πολυδαίδαλον λόχευμα·
μακάρων θεῶν δ' ὅμιλος,
ῥόδον ὡς γένοιτο, νέκταρ
ἐπιτέγξας ἀνέθηλεν
ἀγέρωχον ἐξ ἀκάνθης
φυτὸν ἄμβροτον Λυαίῳ.

---

58. [50.]

ΕΙΣ ΔΙΟΝΤΣΟΝ.

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ
νέον, ἐν πόθοις ἀταρβῆ,
καλὸν ἐν πότοις χορευτήν
τελέων θεὸς κατῆλθεν,
ἁπαλὸν βροτοῖσι φίλτρον
πότον ἄστονον κομίζων,
γόνον ἀμπέλου, τὸν οἶνον,
πεπεδημένον ὀπώραις
ἐπὶ κλημάτων φυλάττων,
ἵν', ὅταν τέμνωσι βότρυν,
ἄνοσοι μένωσι πάντες,
ἄνοσοι δέμας θεητόν,
ἄνοσοι γλυκύν τε θυμόν
ἐς ἔτους φανέντος ἄλλου.

---

59. [51.]

ΕΙΣ ΔΙΣΚΟΝ ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ.

Ἆρα τις τόρευσε πόντον;
ἆρα τις μανεῖσα τέχνα
ἀνέχευε κῦμα δίσκῳ

V. 20. ὅμιλος, cod. ὁμοῖ. — V. 22. ἀνέθηλεν scripsi, cod. ἀνεθήλειν, vulgo ἀνέτειλεν. — V. 24. Λυαίῳ cod. in textu, supra Λυαίου.

58. Spal. in marg. ἄλλο. — V. 2. νέον, cod. sec. Spal. supra νέων. — V. 6. πότον Stephanus, cod. πόθον. — V. 10. τέμνωσι cod., vulgo τέμωσι. — V. 12. θεητὸν vulgo, cod. θϊητόν. — V. 14. ἐς ἔτους, cod. ἐς ἑτους.

59. V. 1. πόντον vulgo, cod. πόντῳ.

ἐπὶ νῶτα τῆς θαλάττης;
ἄρα τις ὕπερθε λευκάν
ἀπαλὰν χάραξε Κύπριν
νόος ἐς θεοὺς ἀερθείς,
μακάρων φύσιος ἀρχάν;
ὁ δέ νιν ἔδειξε γυμνάν,
χῶσα μὴ θέμις δ' ὁρᾶσθαι,
μόνα κύμασιν καλύπτει.
ἀλαλημένον δ' ἐπ' αὐτάν,
βρύον ὡς ὕπερθε λευκόν,
δέμας εἰς πλόον φέρουσα,
ἀπαλοχρόοις παλάμαις
ῥόδιον πάροιθεν ἔλκει.
ῥοδέων δ' ὕπερθε μαζῶν
ἀπαλῆς ἔνερθε δειρῆς
μέγα κῦμα πρῶτα τέμνει.
μέσον αὔλακος δὲ Κύπρις,
κρίνον ὡς ἰόις ἐλιχθέν,
διαφαίνεται γαλήνας.
ὑπὲρ ἀργύρῳ δ' ὀχοῦνται
ἐπὶ δελφῖσιν χορευταῖς,
δολερὸν νόον μερόπων,
Ἔρος, Ἵμερος γελῶντες.
χορὸς ἰχθύων τε κύρτος
ἐπὶ κυμάτων κυβιστῶν
Παφίης τὸ σῶμα παίζει,
ἵνα νήχεται γελῶσα.

V. 7. ἀερθεὶς cod. supra, in textu ἀέρθη. — V. 10. χῶσα scripsi, cod. χόσα, Brunckius ὅσα. ib. θέμις δ' cod., Steph. θέμις. — V. 11. κύμασιν καλύπτει cod., corrigunt κῦμα συγκαλύπτει. — V. 12. ἀλαλημένον Stephanus, cod. ἀλαλημένος. ib. ἐπ' αὐτὰν Mehlhornius, cod. ἐπαυτά. — V. 13. λευκὸν vulgo, cod. λευκάν. — V. 13 et 14. ita collocavit Pauwius, in codice leguntur inverso ordine. — V. 15. ἁπαλοχρόοις παλάμαις Mehlhornius, cod. ἁπαλοχρόους παλάμ et in marg. γαληνς. — V. 23. ὀχοῦνται vulgo, cod. ὀρχοῦνται. — V. 26. Ἔρος Barnesius, cod. Ἔρως.

60. [52.]

ΕΙΣ ΟΙΝΟΝ.

Τὸν μελανόχρωτα βότρυν
ταλάροις φέροντες ἄνδρες
μετὰ παρθένων ἐπ' ὤμων,
κατὰ ληνὸν δὲ βαλόντες,
μόνον ἄρσενες πατοῦσιν
σταφυλήν, λύοντες οἶνον,
μέγα τὸν θεὸν κροτοῦντες
ἐπιληνίοισιν ὕμνοις,
ἐρατὸν πίθοις ὁρῶντες
νέον ἐς ζέοντα Βάκχον,
ὃν ὅταν πίνῃ γεραιός,
τρομεροῖς ποσὶν χορεύει,
πολιὰς τρίχας τινάσσων.
ὁ δὲ παρθένον λοχήσας
ἐρατὸς νέος ἐλυσθείς
ἁπαλὸν δέμας χυθεῖσαν
σκιερῶν ὕπερθε φύλλων,
βεβαρημένην ἐς ὕπνον,
ἐς ἔρωτ' ἄωρα θέλγει,
προδότιν γάμων γενέσθαι·
ὁ δὲ μὴ λόγοισι πείθων
τότε μὴ θέλουσαν ἄγχει·
μετὰ γὰρ νέων ὁ Βάκχος
μεθύων ἄτακτα παίζει.

---

60. V. 1. *μελανόχρωτα* cod. supra, in textu *μελανόχροτα*. — V. 8. *ἐπιληνίοισιν*, cod. *ἐπιληνέοισιν*. — V. 11. *πίνῃ* cod., vulgo *πίῃ*. — V. 19. *ἄωρα* cod. sec. Spal. in marg., *ἄωρος* in textu. — V. 20. *προδότιν* vulgo, cod. *προδότην*. — V. 21. *πείθων*, cod. supra *πϊθων*.

61.

ΕΙΣ ΧΡΥΣΟΝ.

Ὁ δραπέτας ὁ Χρυσός,
ὅταν με φεύγει κραιπνῶς
διηνέμοις τε ταρσοῖς,
ἀεὶ δ', ἀεί με φεύγει,
οὔ μιν διώκω· τίς γάρ
μισῶν ὑέλει τι θηρᾶν;
ἐγὼ δ' ἄφαρ λιασθείς
τῷ δραπέτα τῷ Χρυσῷ
ἐμῶν φρενῶν μὲν αὔραις
φέρειν ἔδωκα λύπας,
λύρην δ' ἑλὼν ἀείδω
ἐρωτικὰς ἀοιδάς.
πάλιν δ' ὅταν με θυμός
ὑπερφρονεῖν διδάξῃ,
ἄφνω προσεῖφ' ὁ δραπέτας,
φέρων μέθαν μοι φροντίδων,
ἑλών μιν ὡς μεθήμων
λύρης γένωμαι λαρός.
ἄπιστ' ἄπιστε Χρυσέ,
μάτην δόλοις με θέλγεις·
πλέον τι Χρυσοῦ νεῦρα,
πόθους κέκλυθι ἀδεῖς.

---

61. Spal. add. τοῦ αὐτοῦ et in marg. ἄλλο. — V. 1. ὁ Pauwius, cod. μ' ὁ. — V. 2. κραιπνῶς cod. supra, in textu κραιπνεῖς, vulgo κραιπνοῖς. — V. 5. οὔ μιν vulgo, cod. οὐ μήν. — V. 8. τῷ δραπέτα τῷ Χρυσῷ Barnesius, cod. τῷ δραπέτᾳ τῷ Χρυσῷ. — V. 15. προσεῖφ' ὁ codex, vulgo προσεῖπεν. — V. 16. μοι Dacier, cod. δοι. — V. 17. μεθήμων, cod. supra μεθύμων, Steph. μεθ' ἡμῶν. — V. 18. λαρὸς vulgo, cod. λαρόν. — V. 20. μάτην Mehlhornius, cod. μετ' ἄν. ib. θέλγεις, cod. supra θέλγης. — V. 21. τι Χρυσοῦ Mehlhornius, cod. Χρυησου, vulgo Χρυσοῦ.

62.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Ἀνὰ βάρβιτον δονήσω·
ἄεθλος μὲν οὐ πρόκειται,
μελέτη δ' ἔπεστι παντὶ
σοφίης λαχόντ' ἄωτον.
ἐλεφαντίνῳ δὲ πλήκτρῳ
λιγυρὸν μέλος κροαίνων
Φρυγίῳ ῥυθμῷ βοήσω,
ἅτε τις κύκνος Καΰστρου
ποικίλον πτεροῖσι μέλπων
ἀνέμῳ σύναυλος ἦχθη.
σὺ δὲ Μοῦσα συγχόρευε·
ἱερὸν γάρ ἐστι Φοίβου
κιθάρη δάφνη τρίπους τε.
λαλέω δ' ἔρωτα Φοίβου,
ἀνεμώλιον τὸν οἶστρον·
σαόφρων γὰρ ἔστι κούρα·
τὸ μὲν ἐκπέφευγε κέντρον,
φύσεως δ' ἄμειψε μορφήν·
φυτὸν εὐθαλὲς δ' ἐπηχεῖ.
ὁ δὲ Φοῖβος, ἦε Φοῖβος,
κρατέειν κόρην νομίζων,
χλοερὸν δρέπων δὲ φύλλον,
ἐδόκει τελεῖν Κυθήρην.
ἄγε θυμέ, πῇ μέμηνας
μανίην μανεὶς ἀρίστην;
τὸ βέλος φέρε κρατύνων,
σκοπὸν ὡς βαλὼν ἀπέλθῃς.

---

62. V. 3. ἔπεστι παντὶ Stephanus, cod. ἐπέστω πάντη. — V. 4. λαχόντ' Steph., cod. λαχών. ib. ἄωτον, cod. supra ἀώτων. — V. 9. ποικίλον cod., Steph. conjecit πολιοῖς. — V. 10. ἀνέμῳ, cod. ἀνέμου. ib. ἦχθη, cod. supra ηχη. — V. 14. λαλέω δ' vulgo, cod. λαλέων. — V. 15. ἀνεμώλιον, cod. ἀνεμόλιον. — V. 16. ἔστι κούρα Stephanus, cod. ἐστ' ἀκουσς et in marg. εὖτ' ἀκούσας. — V. 17. ἐκπέφευγε Stephanus, cod. ἐκπίφευγα. — V. 18. ἄμειψε Stephanus, cod. ἄμειψα. — V. 19. ἐπηχεῖ Stephanus; cod. ἐπ' ἠχεῖ. — V. 20. ἦε Aemil. Portus, cod. ἦέ.

τὸ δὲ τόξον Ἀφροδίτης
ἄφες, ᾧ θεοὺς ἐνίκα.
τὸν Ἀνακρέοντα μιμοῦ,
τὸν ἀοίδιμον μελιστήν.
φιάλην πρόπινε παισίν,
φιάλην λόγων ἐραννήν.
ἀπὸ νέκταρος ποτοῖο
παραμύθιον λαβόντες
φλογερὸν φύγωμεν ἄστρον.

63.

ΩΔΑΡΙΟΝ ΕΡΩΤΙΚΟΝ.

Ποταμοῦ μέσον κατεῖδον
ποτὲ τὸν γόνον Κυθήρης·
ἐνενήχετο προπαίζων
μετὰ Νηρήδων χορείης·
ποταμὸς δὲ χρυσοδίνης
ἐβόα, τί πυρπολεῖς με,
τί με, παιδίον, φλογίζεις;
ἀπ' ἐμῶν ἄπελθε ῥείθρων.
πλοκάμους χρυσοχύτους θαῦμα ἰδέσθαι,
ὁ Ἔρως τῆς Παφίης εἶχε καρήνῳ.

Ὃν ἰδων ἐγὼ τότ' ἔσχον
ἐπιθυμίαν κρατῆσαι,
κρατεραῖς πέδαις τε δῆσαι,
θαλεροῖς νέοις τε δεῖξαι.
ὁ δὲ νόσφι τῶν ῥεέθρων
ὑπέφευγε προσγελῶν μοι,
ποτὲ μὲν ποσὶ προβαίνων,
ποτὲ δὲ πτεροῖς ἀλύσκων.
μικρὸς ἦν, ὑπόπτερός τε,

V. 29. ᾧ Aemil. Port., cod. ὡς. — V. 36. *φίγωμεν* homines docti, cod. *φυγόντες*.

63. Hoc carmen non legitur in codice Palatino, sed apud Cramerum in Anecdot. Paris. T. IV. p. 380., quod cum dignissimum esset istis Anacreonteis cantilenis, in ordinem recepi. — V. 5. *Νηρήδων* scripsi, cod. *Νηρηΐδων*.

πολυποίκιλός τε μύθῳ,
πολυδαίδαλος τὸ εἶδος,
πολυήρατος τὸ κάλλος.
παῖδα οἰστοβόλον Ἀφρογενείης,
εὐγενέων λογάδων, φεύγετε, κοῦροι.

Γυμνὸς ἦν ἀνάρβυλός τε,
πυρὶ δ' εἴκελος τὰ πάντα.
ἀπὸ δ' ὀμμάτων βολάων
φλογερὴν ἔπεμπεν αἴγλην·
ἐρατὰν φέρων φαρέτρην
πεπυρωμένων βελέμνων,
ἐπίχρυσον εἶχε τόξον
κεχαλασμένον κατ' ὤμων.
μικρὸν ἔχει τὸ βέλος, μακρὰ δὲ βάλλει,
ὃν δὲ βάλῃ, πυρόεις οἶστρος ἐλαύνει.

Γλυκερὴν ὅπα προῆκεν
διὰ τὸν πόθον λαλῶν μοι,
λιγυρὸν μέλος λυρίζων,
καθάπερ Πρόκνη κατ' ἄλσος·
παλάμην ἄγαν βραχεῖαν
ἐπεμειδία κραδαίνων.
ἐπεδείκνυεν δὲ ταύτην,
προφανῶς τὸ πῦρ ἀφάσσων·
ἀναγαλλίδας παρῆλθεν,
ἵα καὶ κρόκους παρέπτη.
Ζεφύρου πνοὰς γὰρ εἶχεν
κατοπισθίους λιγείας.
τὸ βρέφος τῆς Παφίης φεύγετε, κοῦροι.
ἀφανῶς τόξα πόθων ἀγκύλα τείνει.

Καθάπερ ταὼς τις ὄρνις
ὁ κατάστερος πτεροῖσιν,
ὑπερίπτατο πλανῶν με,
λιβάδων ὕπερθε παίζων.
ἔκαμνον τρέχων, ἐλαύνων.
ἀπεπαυσάμην διώκων,

V. 25. ἀνάρβυλος, cod. ἀνάρβιλος. — V. 41. ἐπεδείκνυεν scripsi, cod ἐπεδείκνυ. — V. 43. ἀναγαλλίδας, cod. ἀναγγαλίδας.

ὁ δὲ τοῖς ῥόδοις με βάλλων,
ὑπέθελγέ πως πρὸς οἶστρον.
πόσα ἄνθη ἔδραμον καὶ ῥοδεῶνας,
ὀπίσω παιδαρίου πολλὰ διώκων;

. . . . . .

μανίης πέφυκε δεῖγμα,
νεότητός ἐστι πῆμα.
. . . πέφυκε πᾶσα
ἀκατάσχετός τε τόλμα,
ἀτελῶν πόνων ἐρῶσα·
καλύκων συνῆγεν ἄνθη,
παρέσχε μοι πονεῖν δέ·
πλατάνοισι γὰρ προβαίνων
στεφάνους πλέκειν μεθῆκεν.
δροσερὰς εἰς λιβάδας πολλὰ διώξας,
τὸν Ἔρωτα βροχίσαι οὐκ ἐδυνήθην.

Ὑποδὺς δ' ἔνερθε λόχμης
σκιεροῖς ἔπαιζε δένδροις
πύματον βέλος προπέμψας
βάλλεν ἡπάτων τὰ κοῖλα.
συνομηλίκων χορεία,
συναρήξατε προθύμως·
κατακαίομαι, κλονοῦμαι
ἀφανῶς τε πυρπολοῦμαι.
ἀνθοκόμους λιβάδας πεζοπονήσας
παῖδα πανοῦργον ἑλεῖν οὐκ ἐδυνήθην.

Δότε μοι λόγον, τί ῥέξω,
τί πάθω, τί δ' αὖ προσοίσω·
τί δὲ φάρμακον πόθ' εὕρω,
κραδίην ἐμὴν δροσίζον.
φάρμακον ἐξ Ἑλένης εἴ τις ἐφεύροι
ἡμετέραις φιάλαις ἐγκαταμῖξαι.

V. 55. *με βάλλων* scripsi, cod. *ἐμβάλλων*. — V. 57. *ῥοδεῶνας* scripsi, cod. *ῥοδωνιῶνας*. — V. 59. aliquot versus excidisse videntur. — V. 69. *ἐδυνήθην* scripsi, cod. *ἠδυνήθη*. — V. 72. *πύματον* Cramerus, cod. *πήματον*. ib. *προπέμψας* scripsi, cod. *πέμψας*. — V. 76. *κλονοῦμαι* Cramerus, cod. *κλονουμένων*. — V. 78. *πεζοπονήσας*, fortasse scribendum *πεζοπορήσας*. — V. 79. *ἐδυνήθην*, cod. *ἠδυνήθην*. — V. 81. *προσοίσω* Cramerus, cod. *προσήσω*.

Ἄκος εἰς ἔρωτ' ἀκούω
ἀποδημίαν γενέσθαι.
σὺ μένειν θέλων δὲ μᾶλλον,
ἕτερον τρόπον μετέρχου·
ἀΰπνους ἴαυε νύκτας
μετ' Ἀχιλλέως ἑταίρων·
σὺν ἀηδόσιν λιγείαις
μελιηδέα προχέων.
ἐδάην πόθου τὸ φίλτρον,
ὁδὸν οὐδαμῶς ἐπέγνων,
δότε μοι συνομοδίτην
τὸν ἔρωτα συλλαλοῦντα.
τῆς Παφίης τὸ βρέφος φεύγετε, κοῦροι,
λαμπάδα καιομένην χερσὶ κομίζει.

XV.

TELESILLA.

1.

– ⏑ ⏑ – ⏑ –
– ⏑ ⏑ – ⏑ –
Ἅ δ' Ἄρτεμις, ὦ κόραι,
φεύγοισα τὸν Ἀλφεόν.

2.

Athenaeus XI. p. 467. F.: *Τελέσιλλα δὲ ἡ Ἀργεία καὶ τὴν ἄλω καλεῖ δεῖνον.* **Cf. Eustath. 1207. 14.**

3.

Athenaeus XIV. p. 619. B.: *Ἡ εἰς Ἀπόλλωνα ᾠδὴ φιληλίας, ὡς Τελέσιλλα παρίστησιν.*

V. 95. ὁδὸν scripsi, cod. ὁδὸν δ'.

Telesilla. Fr. 1. Hephaestio p. 62.: Ἔστι τοίνυν ἐπίσημα ἐν τῷ ἰωνικῷ, ἐφθημιμερῆ μέν, τὰ τοιαῦτα, οἷς ἡ Τελέσιλλα ἐχρήσατο· Ἅ δ' Ἄρτεμις ὦ κόραι κτλ. V. 1. etiam p. 26. legitur.